eul_wid: icu-ab

*Δωσιάδας ὁ Κρής* · Dosiadas of Crete

# Altar

*Βωμός*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Εἱμαρσένος με στήτας
πόσις Μέροψ δίσαβος
τεῦξ’, οὐ σποδεύνας ἶνις Ἐμπούσας, μόρος
Τεύκροιο βούτα καὶ κυνὸς τεκνώματος,
Χρύσας δ’ ἀΐτας, ἇμος ἐψάνδρα
τὸν γυιόχαλκον οὖρον ἔρραισεν,
[para]ὃν ὡπάτωρ δίσευνος
[para]μόγησε ματρόριπτος.
[para]Ἐμὸν δὲ τεῦγμ’ ἀθρήσας
Θεοκρίτοιο κτάντας
Τριεσπέροιο καύστας
θώυξεν αἴν’ ἰύξας,
χάλεψε γάρ νιν ἰῷ
σύργαστρος ἐκδυγήρας·
τὸν δ’ αἰλινεῦντ’ ἐν ἀμφικλύστῳ
[para]Πανός τε ματρὸς εὐνέτας, φὼρ
δίζῳος, ἶνίς τ’ ἀνδροβρῶτος, Ἰλοραιστᾶν
ἦρ’ ἀρδίων ἐς Τευκρίδ’ ἄγαγον τρίπορθον.